Il.1.531 Τώ γ’ ὣς βουλεύσαντε διέτμαγεν· ἣ μὲν ἔπειτα
Il.1.532 εἰς ἅλα ἆλτο βαθεῖαν ἀπ’ αἰγλήεντος Ὀλύμπου,
Il.1.533 Ζεὺς δὲ ἑὸν πρὸς δῶμα· θεοὶ δ’ ἅμα πάντες ἀνέσταν
Il.1.534 ἐξ ἑδέων σφοῦ πατρὸς ἐναντίον· οὐδέ τις ἔτλη
Il.1.535 μεῖναι ἐπερχόμενον, ἀλλ’ ἀντίοι ἔσταν ἅπαντες.
Il.1.536 Ὣς ὃ μὲν ἔνθα καθέζετ’ ἐπὶ θρόνου· οὐδέ μιν Ἥρη
Il.1.537 ἠγνοίησεν ἰδοῦσ’ ὅτι οἱ συμφράσσατο βουλὰ̄ς
Il.1.538 ἀργυρόπεζα Θέτις θυγάτηρ ἁλίοιο γέροντος.
Il.1.539 Αὐτίκα κερτομίοισι Δία Κρονίωνα προσηύδᾱ·
Il.1.540 τίς δ’ αὖ τοι δολομῆτα θεῶν συμφράσσατο βουλά̄ς;
Il.1.541 Αἰεί τοι φίλον ἐστὶν ἐμεῦ ἀπὸ νόσφιν ἐόντα
Il.1.542 κρυπτάδια φρονέοντα δικαζέμεν· οὐδέ τί πώ μοι
Il.1.543 πρόφρων τέτληκας εἰπεῖν ἔπος ὅττι νοήσῃς.
Il.1.544 Τὴν δ’ ἠμείβετ’ ἔπειτα πατὴρ ἀνδρῶν τε θεῶν τε·
Il.1.545 Ἥρη μὴ δὴ πάντας ἐμοὺς ἐπιέλπεο μῦ́θους
Il.1.546 εἰδήσειν· χαλεποί τοι ἔσοντ’ ἀλόχῳ περ ἐούσῃ·
Il.1.547 ἀλλ’ ὃν μέν κ’ ἐπιεικὲς ἀκουέμεν οὔ τις ἔπειτα
Il.1.548 οὔτε θεῶν πρότερος τὸ̱ν εἴσεται οὔτ’ ἀνθρώπων·
Il.1.549 ὃν δέ κ’ ἐγὼν ἀπάνευθε θεῶν ἐθέλωμι νοῆσαι
Il.1.550 μή τι σὺ ταῦτα ἕκαστα διείρεο μηδὲ μετάλλᾱ.
Il.1.551 Τὸν δ’ ἠμείβετ’ ἔπειτα βοῶπις πότνια Ἥρη·
Il.1.552 αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπες;
Il.1.553 Καὶ λῖ́ην σε πάρος γ’ οὔτ’ εἴρομαι οὔτε μεταλλῶ,
Il.1.554 ἀλλὰ μάλ’ εὔκηλος τὰ φράζεαι ἅσσ’ ἐθέλῃσθα.
Il.1.555 Νῦν δ’ αἰνῶς δείδοικα κατὰ φρένα μή σε παρείπῃ
Il.1.556 ἀργυρόπεζα Θέτις θυγάτηρ ἁλίοιο γέροντος·
Il.1.557 ἠερίη γὰρ σοί γε παρέζετο καὶ λάβε γούνων·
Il.1.558 τῇ σ’ ὀΐω κατανεῦσαι ἐτήτυμον ὡς Ἀχιλῆα
Il.1.559 τῑμήσῃς, ὀλέσῃς δὲ πολέας ἐπὶ νηυσὶν Ἀχαιῶν.
Il.1.560 Τὴν δ’ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·

Il.1.561 δαιμονίη αἰεὶ μὲν ὀΐεαι οὐδέ σε λήθω·
Il.1.562 πρῆξαι δ’ ἔμπης οὔ τι δυνήσεαι, ἀλλ’ ἀπὸ θῡμοῦ
Il.1.563 μᾶλλον ἐμοὶ ἔσεαι· τὸ δέ τοι καὶ ῥΐγιον ἔσται.
Il.1.564 Εἰ δ’ οὕτω τοῦτ’ ἐστὶν ἐμοὶ μέλλει φίλον εἶναι·
Il.1.565 ἀλλ’ ἀκέουσα κάθησο, ἐμῷ δ’ ἐπιπείθεο μύθῳ,
Il.1.566 μή νύ τοι οὐ χραίσμωσιν ὅσοι θεοί εἰσ’ ἐν Ὀλύμπῳ
Il.1.567 ἆσσον ἰόνθ’, ὅτε κέν τοι ἀάπτους χεῖρας ἐφείω.
Il.1.568 Ὣς ἔφατ’ ἔ̱δεισεν δὲ βοῶπις πότνια Ἥρη,
Il.1.569 καί ῥ’ ἀκέουσα καθῆστο ἐπιγνάμψᾱσα φίλον κῆρ·
Il.1.570 ὄχθησαν δ’ ἀνὰ δῶμα Διὸς θεοὶ Οὐρανίωνες·
Il.1.571 τοῖσιν δ’ Ἥφαιστος κλυτοτέχνης ἦρχ’ ἀγορεύειν
Il.1.572 μητρὶ φίλῃ ἐπίηρα φέρων λευκωλένῳ Ἥρῃ·
Il.1.573 ἦ δὴ λοίγια ἔργα τάδ’ ἔσσεται οὐδ’ ἔτ’ ἀνεκτά,
Il.1.574 εἰ δὴ σφὼ ἕνεκα θνητῶν ἐριδαίνετον ὧδε,
Il.1.575 ἐν δὲ θεοῖσι κολῳὸν ἐλαύνετον· οὐδέ τι δαιτὸς
Il.1.576 ἐσθλῆς ἔσσεται ἦδος, ἐπεὶ τὰ χερείονα νῑκᾷ.
Il.1.577 Μητρὶ δ’ ἐγὼ παράφημι καὶ αὐτῇ περ νοεούσῃ
Il.1.578 πατρὶ φίλῳ ἐπίηρα φέρειν Διί, ὄφρα μὴ αὖτε
Il.1.579 νεικείῃσι πατήρ, σὺν δ’ ἡμῖν δαῖτα ταράξῃ.
Il.1.580 Εἴ περ γάρ κ’ ἐθέλῃσιν Ὀλύμπιος ἀστεροπητὴς
Il.1.581 ἐξ ἑδέων στυφελίξαι· ὃ γὰρ πολὺ φέρτατός ἐστιν.
Il.1.582 Ἀλλὰ σὺ τὸν ἐπέεσσι καθάπτεσθαι μαλακοῖσιν·
Il.1.583 αὐτίκ’ ἔπειθ’ ἵλᾱος Ὀλύμπιος ἔσσεται ἡμῖν.
Il.1.584 Ὣς ἄρ’ ἔφη καὶ ἀνα̯ΐξᾱς δέπας ἀμφικύπελλον
Il.1.585 μητρὶ φίλῃ ἐν χειρὶ τίθει καί μιν προσέειπε·
Il.1.586 τέτλαθι μῆτερ ἐμή, καὶ ἀνάσχεο κηδομένη περ,
Il.1.587 μή σε φίλην περ ἐοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι
Il.1.588 θεινομένην, τότε δ’ οὔ τι δυνήσομαι ἀχνύμενός περ
Il.1.589 χραισμεῖν· ἀργαλέος γὰρ Ὀλύμπιος ἀντιφέρεσθαι·
Il.1.590 ἤδη γάρ με καὶ ἄλλοτ’ ἀλεξέμεναι μεμαῶτα

Il.1.591 ῥῖψε ποδὸς τεταγὼν ἀπὸ βηλοῦ θεσπεσίοιο,
Il.1.592 πᾶν δ' ἦμαρ φερόμην, ἅμα δ' ἠελίῳ καταδύντι
Il.1.593 κάππεσον ἐν Λήμνῳ, ὀλίγος δ' ἔτι θῡμὸς ἐνῆεν·
Il.1.594 ἔνθά με Σίντιες ἄνδρες ἄφαρ κομίσαντο πεσόντα.
Il.1.595 Ὣς φάτο, μείδησεν δὲ θεᾱ̀ λευκώλενος Ἥρη,
Il.1.596 μειδήσᾱσα δὲ παιδὸς ἐδέξατο χειρὶ κύπελλον·
Il.1.597 αὐτὰρ ὃ τοῖς ἄλλοισι θεοῖς ἐνδέξια πᾶσιν
Il.1.598 οἰνοχόει γλυκὺ νέκταρ ἀπὸ κρητῆρος ἀφύσσων·
Il.1.599 ἄσβεστος δ' ἄρ' ἐνῶρτο γέλως μακάρεσσι θεοῖσιν
Il.1.600 ὡς ἴδον Ἥφαιστον διὰ δώματα ποιπνῡ́οντα.
Il.1.601 Ὣς τότε μὲν πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Il.1.602 δαίνυντ', οὐδέ τι θῡμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
Il.1.603 οὐ μὲν φόρμιγγος περικαλλέος ἣν ἔχ' Ἀπόλλων,
Il.1.604 Μουσᾱ́ων θ' αἳ ἄειδον ἀμειβόμεναι ὀπὶ καλῇ.
Il.1.605 Αὐτὰρ ἐπεὶ κατέδῡ λαμπρὸν φάος ἠελίοιο,
Il.1.606 οἳ μὲν κακκείοντες ἔβαν οἶκον δὲ ἕκαστος,
Il.1.607 ἧχι ἑκάστῳ δῶμα περικλυτὸς ἀμφιγυήεις
Il.1.608 Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσι·
Il.1.609 Ζεὺς δὲ πρὸς ὃν λέχος ἤϊ' Ὀλύμπιος ἀστεροπητής,
Il.1.610 ἔνθα πάρος κοιμᾶθ' ὅτε μιν γλυκὺς ὕπνος ἱκᾱ́νοι·
Il.1.611 ἔνθα καθεῦδ' ἀναβᾱ́ς, παρὰ δὲ χρῡσόθρονος Ἥρη.
Il.14.153 Ἥρη δ' εἰσεῖδε χρῡσόθρονος ὀφθαλμοῖσι
Il.14.154 στᾶσ' ἐξ Οὐ̯λύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω
Il.14.155 τὸν μὲν ποιπνῡ́οντα μάχην ἀνὰ κῡδιάνειραν
Il.14.156 αὐτοκασίγνητον καὶ δᾱέρα, χαῖρε δὲ θῡμῷ·
Il.14.157 Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπῑ́δακος Ἴδης
Il.14.158 ἥμενον εἰσεῖδε, στυγερὸς δέ οἱ ἔπλετο θῡμῷ.
Il.14.159 Μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη
Il.14.160 ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο·
Il.14.161 ἧδε δέ οἱ κατὰ θῡμὸν ἀρίστη φαίνετο βουλὴ

Il.14.162 ἐλθεῖν εἰς Ἴδην εὖ ἐντῡ́νᾱσαν ἓ αὐτήν,
Il.14.163 εἴ πως ῑ̔μείραιτο παραδραθέειν φιλότητι
Il.14.164 ᾗ χροιῇ, τῷ δ᾽ ὕπνον ἀπήμονά τε λιαρόν τε
Il.14.165 χεύῃ ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσι.
Il.14.166 Βῆ δ᾽ ἴμεν ἐς θάλαμον, τό̱ν οἱ φίλος υἱὸς ἔτευξεν
Il.14.167 Ἥφαιστος, πυκινᾱ̀ς δὲ θύρᾱς σταθμοῖσιν ἐπῆρσε
Il.14.168 κληῗδι κρυπτῇ, τὴν δ᾽ οὐ θεὸς ἄλλος ἀνῷγεν·
Il.14.169 ἔνθ᾽ ἥ γ᾽ εἰσελθοῦσα θύρᾱς ἐπέθηκε φαεινᾱ́ς.
Il.14.170 Ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ῑ̔μερόεντος
Il.14.171 λῦματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ᾽ ἐλαίῳ
Il.14.172 ἀμβροσίῳ ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν·
Il.14.173 τοῦ καὶ κῑνυμένοιο Διὸς κατὰ χαλκοβατὲς δῶ
Il.14.174 ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ῑ̔́κετ᾽ ἀῡ̈τμή.
Il.14.175 Τῷ ῥ᾽ ἥ γε χρόα κᾱλὸν ἀλειψαμένη ἰδὲ χαίτᾱς
Il.14.176 πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινοὺς
Il.14.177 κᾱλοὺς ἀμβροσίους ἐκ κρᾱ́ατος ἀ̱θανάτοιο.
Il.14.178 Ἀμφὶ δ᾽ ἄρ᾽ ἀμβρόσιον ἑανὸν ἕσαθ᾽, ὅν οἱ Ἀθήνη
Il.14.179 ἔξῡσ᾽ ἀσκήσᾱσα, τίθει δ᾽ ἐνὶ δαίδαλα πολλά·
Il.14.180 χρῡσείῃς δ᾽ ἐνετῇσι κατὰ στῆθος περονᾶτο.
Il.14.181 Ζώσατο δὲ ζώνῃ ἑκατὸν θυσάνοις ἀραρυίῃ,
Il.14.182 ἐν δ᾽ ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι
Il.14.183 τρίγληνα μορόεντα· χάρις δ᾽ ἀπελάμπετο πολλή.
Il.14.184 Κρηδέμνῳ δ᾽ ἐφύπερθε καλύψατο δῖα θεᾱ́ων
Il.14.185 κᾱλῷ νηγατέῳ· λευκὸν δ᾽ ἦν ἠέλιος ὥς·
Il.14.186 ποσσὶ δ᾽ ὑπὸ λιπαροῖσιν ἐδήσατο κᾱλὰ πέδῑλα.
Il.14.187 Αὐτὰρ ἐπεὶ δὴ πάντα περὶ χροῒ θήκατο κόσμον
Il.14.188 βῆ ῥ᾽ ἴμεν ἐκ θαλάμοιο, καλεσσαμένη δ᾽ Ἀφροδῑ́την
Il.14.189 τῶν ἄλλων ἀπάνευθε θεῶν πρὸς μῦθον ἔειπε·
Il.14.190 ἦ ῥά νύ μοί τι πίθοιο φίλον τέκος ὅττι κεν εἴπω,
Il.14.191 ἦέ κεν ἀρνήσαιο κοτεσσαμένη τό γε θῡμῷ,

Il.14.192 οὕνεκ’ ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις;

Il.14.193 Τὴν δ’ ἠμείβετ’ ἔπειτα Διὸς θυγάτηρ Ἀφροδῑ́τη·

Il.14.194 Ἥρη πρέσβα θεᾱ̀ θύγατερ μεγάλοιο Κρόνοιο

Il.14.195 αὔδᾱ ὅ τι φρονέεις· τελέσαι δέ με θῡμὸς ἄνωγεν,

Il.14.196 εἰ δύναμαι τελέσαι γε καὶ εἰ τετελεσμένον ἐστίν.

Il.14.197 Τὴν δὲ δολοφρονέουσα προσηύδᾱ πότνια Ἥρη·

Il.14.198 δὸς νῦν μοι φιλότητα καὶ ῑ̔́μερον, ᾧ τε σὺ πάντας

Il.14.199 δαμνᾷ ᾱ̓θανάτους ἠδὲ θνητοὺς ἀνθρώπους.

Il.14.200 Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,

Il.14.201 Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,

Il.14.202 οἵ μ’ ἐν σφοῖσι δόμοισιν ἐῢ τρέφον ἠδ’ ἀτίταλλον

Il.14.203 δεξάμενοι Ῥείᾱς, ὅτε τε Κρόνον εὐρύοπα Ζεὺς

Il.14.204 γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης·

Il.14.205 τοὺς εἶμ’ ὀψομένη, καί σφ’ ἄκριτα νείκεα λῡ́σω·

Il.14.206 ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται

Il.14.207 εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θῡμῷ.

Il.14.208 Εἰ κείνω ἐπέεσσι παραιπεπιθοῦσα φίλον κῆρ

Il.14.209 εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι,

Il.14.210 αἰεί κέ σφι φίλη τε καὶ αἰδοίη καλεοίμην.

Il.14.211 Τὴν δ’ αὖτε προσέειπε φιλομειδὴς Ἀφροδῑ́τη·

Il.14.212 οὐκ ἔστ’ οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι·

Il.14.213 Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις.

Il.14.214 Ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλῡ́σατο κεστὸν ἱμάντα

Il.14.215 ποικίλον, ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο·

Il.14.216 ἔνθ’ ἔνι μὲν φιλότης, ἐν δ’ ῑ̔́μερος, ἐν δ’ ὀαριστὺς

Il.14.217 πάρφασις, ἥ τ’ ἔκλεψε νόον πύκα περ φρονεόντων.

Il.14.218 Τόν ῥά οἱ ἔμβαλε χερσὶν ἔπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζε·

Il.14.219 τῆ νῦν τοῦτον ἱμάντα τεῷ ἐγκάτθεο κόλπῳ

Il.14.220 ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ σέ φημι

Il.14.221 ἄπρηκτόν γε νέεσθαι, ὅ τι φρεσὶ σῇσι μενοινᾷς.

Il.14.222 Ὣς φάτο, μείδησεν δὲ βοῶπις πότνια Ἥρη,
Il.14.223 μειδήσᾱσα δ’ ἔπειτα ἑῷ ἐγκάτθετο κόλπῳ.
Il.14.224 Ἣ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδῑ́τη,
Il.14.225 Ἥρη δ’ ᾱ̓ΐξᾱσα λίπεν ῥίον Οὐ̱λύμποιο,
Il.14.226 Πῑερίην δ’ ἐπιβᾶσα καὶ Ἠμαθίην ἐρατεινὴν
Il.14.227 σεύατ’ ἐφ’ ἱπποπόλων Θρῃκῶν ὄρεα νιφόεντα
Il.14.228 ἀκροτάτᾱς κορυφᾱ́ς· οὐδὲ χθόνα μάρπτε ποδοῖιν·
Il.14.229 ἐξ Ἀθόω δ’ ἐπὶ πόντον ἐβήσετο κῡμαίνοντα,
Il.14.230 Λῆμνον δ’ εἰσαφίκᾱνε πόλιν θείοιο Θόαντος.
Il.14.231 Ἔνθ’ Ὕπνῳ ξύμβλητο κασιγνήτῳ Θανάτοιο,
Il.14.232 ἔν τ’ ἄρα οἱ φῦ χειρὶ ἔπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζεν·
Il.14.233 Ὕπνε ἄναξ πάντων τε θεῶν πάντων τ’ ἀνθρώπων,
Il.14.234 ἠμὲν δή ποτ’ ἐμὸν ἔπος ἔκλυες, ἠδ’ ἔτι καὶ νῦν
Il.14.235 πείθευ· ἐγὼ δέ κέ τοι ἰδέω χάριν ἤματα πάντα.
Il.14.236 Κοίμησόν μοι Ζηνὸς ὑπ’ ὀφρύσιν ὄσσε φαεινὼ
Il.14.237 αὐτίκ’ ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
Il.14.238 Δῶρα δέ τοι δώσω κᾱλὸν θρόνον ἄφθιτον αἰεὶ
Il.14.239 χρῡ́σεον· Ἥφαιστος δέ κ’ ἐμὸς πάϊς ἀμφιγυήεις
Il.14.240 τεύξει’ ἀσκήσᾱς, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει,
Il.14.241 τῷ κεν ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων.
Il.14.242 Τὴν δ’ ἀπαμειβόμενος προσεφώνεε νήδυμος Ὕπνος·
Il.14.243 Ἥρη πρέσβα θεᾱ̀ θύγατερ μεγάλοιο Κρόνοιο
Il.14.244 ἄλλον μέν κεν ἔγωγε θεῶν αἰειγενετᾱ́ων
Il.14.245 ῥεῖα κατευνήσαιμι, καὶ ᾂν ποταμοῖο ῥέεθρα
Il.14.246 Ὠκεανοῦ, ὅς περ γένεσις πάντεσσι τέτυκται·
Il.14.247 Ζηνὸς δ’ οὐκ ᾂν ἔγωγε Κρονῑ́ονος ᾆσσον ἱκοίμην
Il.14.248 οὐδὲ κατευνήσαιμ’, ὅτε μὴ αὐτός γε κελεύοι.
Il.14.249 Ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ
Il.14.250 ἤματι τῷ ὅτε κεῖνος ὑπέρθῡμος Διὸς υἱὸς
Il.14.251 ἔπλεεν Ἰ̄λιόθεν Τρώων πόλιν ἐξαλαπάξᾱς.

Il.14.252 Ἤτοι ἐγὼ μὲν ἔλεξα Διὸς νόον αἰγιόχοιο
Il.14.253 νήδυμος ἀμφιχυθείς· σὺ δέ οἱ κακὰ μήσαο θῡμῷ
Il.14.254 ὄρσᾱσ᾽ ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτᾱς,
Il.14.255 καί μιν ἔπειτα Κόων δ᾽ εὖ ναιομένην ἀπένεικας
Il.14.256 νόσφι φίλων πάντων. Ὃ δ᾽ ἐπεγρόμενος χαλέπαινε
Il.14.257 ῥιπτάζων κατὰ δῶμα θεούς, ἐμὲ δ᾽ ἔξοχα πάντων
Il.14.258 ζήτει· καί κέ μ᾽ ἄϊστον ἀπ᾽ αἰθέρος ἔμβαλε πόντῳ,
Il.14.259 εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν·
Il.14.260 τὴν ἱκόμην φεύγων, ὃ δ᾽ ἐπαύσατο χωόμενός περ.
Il.14.261 Ἅζετο γὰρ μὴ Νυκτὶ θοῇ ἀποθῡ́μια ἕρδοῑ.
Il.14.262 Νῦν αὖ τοῦτό μ᾽ ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι.
Il.14.263 Τὸν δ᾽ αὖτε προσέειπε βοῶπις πότνια Ἥρη·
Il.14.264 Ὕπνε τί ἢ δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾷς;
Il.14.265 Ἦ φῂς ὣς Τρώεσσιν ἀρηξέμεν εὐρύοπα Ζῆν
Il.14.266 ὡς Ἡρακλῆος περιχώσατο παῖδος ἑοῖο;
Il.14.267 Ἀλλ᾽ ἴθ᾽, ἐγὼ δέ κέ τοι Χαρίτων μίαν ὁπλοτερᾱ́ων
Il.14.268 δώσω ὀπυιέμεναι καὶ σὴν κεκλῆσθαι ἄκοιτιν.
Il.14.270 Ὣς φάτο, χήρατο δ᾽ Ὕπνος, ἀμειβόμενος δὲ προσηύδᾱ·
Il.14.271 ἄγρει νῦν μοι ὄμοσσον ἀᾱ́ᾱτον Στυγὸς ὕ̱δωρ,
Il.14.272 χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν,
Il.14.273 τῇ δ᾽ ἑτέρῃ ἅλα μαρμαρέην, ἵνα νῶϊν ἅπαντες
Il.14.274 μάρτυροι ὦσ᾽ οἳ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἐόντες,
Il.14.275 ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτερᾱ́ων
Il.14.276 Πᾱσιθέην, ἧς τ᾽ αὐτὸς ἐέλδομαι ἤματα πάντα.
Il.14.277 Ὣς ἔφατ᾽, οὐδ᾽ ἀπίθησε θεᾱ̀ λευκώλενος Ἥρη,
Il.14.278 ὄμνυε δ᾽ ὡς ἐκέλευε, θεοὺς δ᾽ ὀνόμηνεν ἅπαντας
Il.14.279 τοὺς ὑποταρταρίους οἳ Τῑτῆνες καλέονται.
Il.14.280 Αὐτὰρ ἐπεί ῥ᾽ ὄμοσέν τε τελεύτησέν τε τὸν ὅρκον,
Il.14.281 τὼ βήτην Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε
Il.14.282 ἠέρα ἑσσαμένω ῥίμφα πρήσσοντε κέλευθον.

Il.14.283 Ἴδην δ’ ἱκέσθην πολυπίδακα μητέρα θηρῶν

Il.14.284 Λεκτόν, ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ’ ἐπὶ χέρσου

Il.14.285 βήτην, ἀκροτάτη δὲ ποδῶν ὕπο σείετο ὕλη.

Il.14.286 Ἔνθ’ Ὕπνος μὲν ἔμεινε πάρος Διὸς ὄσσε ἰδέσθαι

Il.14.287 εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ’ ἐν Ἴδῃ

Il.14.288 μακροτάτη πεφυυῖα δι’ ἠέρος αἰθέρ’ ἵκανεν·

Il.14.289 ἔνθ’ ἧστ’ ὄζοισιν πεπυκασμένος εἰλατίνοισιν

Il.14.290 ὄρνīθι λιγυρῇ ἐναλίγκιος, ἥν τ’ ἐν ὄρεσσι

Il.14.291 χαλκίδα κικλήσκουσι θεοί, ἄνδρες δὲ κύμινδιν.

Il.14.292 Ἥρη δὲ κραιπνῶς προσεβήσετο Γάργαρον ἄκρον

Il.14.293 Ἴδης ὑψηλῆς· ἴδε δὲ νεφεληγερέτα Ζεύς.

Il.14.294 Ὡς δ’ ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν,

Il.14.295 οἷον ὅτε πρῶτόν περ ἐμισγέσθην φιλότητι

Il.14.296 εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας.

Il.14.297 Στῆ δ’ αὐτῆς προπάροιθεν ἔπος τ’ ἔφατ’ ἔκ τ’ ὀνόμαζεν·

Il.14.298 Ἥρη πῇ μεμαυῖα κατ’ Οὐλύμπου τόδ’ ἱκάνεις;

Il.14.299 Ἵπποι δ’ οὐ παρέᾱσι καὶ ἅρματα τῶν κ’ ἐπιβαίης.

Il.14.300 Τὸν δὲ δολοφρονέουσα προσηύδᾱ πότνια Ἥρη·

Il.14.301 ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,

Il.14.302 Ὠκεανόν τε θεῶν γένεσιν καὶ μητέρα Τηθύν,

Il.14.303 οἵ με σφοῖσι δόμοισιν ἐῢ τρέφον ἠδ’ ἀτίταλλον·

Il.14.304 τοὺς εἶμ’ ὀψομένη, καί σφ’ ἄκριτα νείκεα λῡ́σω·

Il.14.305 ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται

Il.14.306 εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θῡμῷ.

Il.14.307 Ἵπποι δ’ ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης

Il.14.308 ἑστᾶσ’, οἵ μ’ οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.

Il.14.309 Νῦν δὲ σεῦ εἵνεκα δεῦρο κατ’ Οὐλύμπου τόδ’ ἱκάνω,

Il.14.310 μή πώς μοι μετέπειτα χολώσεαι, αἴ κε σιωπῇ

Il.14.311 οἴχωμαι πρὸς δῶμα βαθυρρόου Ὠκεανοῖο.

Il.14.312 Τὴν δ’ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·

Il.14.313 Ἥρη κεῖσε μὲν ἔστι καὶ ὕστερον ὁρμηθῆναι,
Il.14.314 νῶϊ δ᾽ ἄγ᾽ ἐν φιλότητι τραπείομεν εὐνηθέντε.
Il.14.315 Οὐ γάρ πώ ποτέ μ᾽ ὧδε θεᾶς ἔρος οὐδὲ γυναικὸς
Il.14.316 θῦμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
Il.14.317 οὐδ᾽ ὁπότ᾽ ἠρασάμην Ἰξῖονίης ἀλόχοιο,
Il.14.318 ἣ τέκε Πειρίθοον θεόφιν μήστωρ᾽ ἀτάλαντον·
Il.14.319 οὐδ᾽ ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης,
Il.14.320 ἣ τέκε Περσῆα πάντων ἀριδείκετον ἀνδρῶν·
Il.14.321 οὐδ᾽ ὅτε Φοίνῑκος κούρης τηλεκλειτοῖο,
Il.14.322 ἣ τέκε μοι Μῑ́νων τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
Il.14.323 οὐδ᾽ ὅτε περ Σεμέλης οὐδ᾽ Ἀλκμήνης ἐνὶ Θήβῃ,
Il.14.324 ἥ ῥ᾽ Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
Il.14.325 ἣ δὲ Διώνῡσον Σεμέλη τέκε χάρμα βροτοῖσιν·
Il.14.326 οὐδ᾽ ὅτε Δήμητρος καλλιπλοκάμοιο ἀνάσσης,
Il.14.327 οὐδ᾽ ὁπότε Λητοῦς ἐρικῡδέος, οὐδὲ σεῦ αὐτῆς,
Il.14.328 ὡς σέο νῦν ἔραμαι καί με γλυκὺς ἵμερος αἱρεῖ.
Il.14.329 Τὸν δὲ δολοφρονέουσα προσηύδᾱ πότνια Ἥρη·
Il.14.330 αἰνότατε Κρονίδη ποῖον τὸν μῦθον ἔειπες.
Il.14.331 Εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Il.14.332 Ἴδης ἐν κορυφῇσι, τὰ δὲ προπέφανται ἅπαντα·
Il.14.333 πῶς κ᾽ ἔοι εἴ τις νῶϊ θεῶν αἰειγενετᾱ́ων
Il.14.334 εὕδοντ᾽ ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν
Il.14.335 πεφράδοι; Οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην
Il.14.336 ἐξ εὐνῆς ἀνστᾶσα, νεμεσσητὸν δέ κεν εἴη.
Il.14.337 Ἀλλ᾽ εἰ δή ῥ᾽ ἐθέλεις καί τοι φίλον ἔπλετο θῡμῷ,
Il.14.338 ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξεν
Il.14.339 Ἥφαιστος, πυκινᾱ̀ς δὲ θύρᾱς σταθμοῖσιν ἐπῆρσεν·
Il.14.340 ἔνθ᾽ ἴομεν κείοντες, ἐπεί νύ τοι εὔαδεν εὐνή.
Il.14.341 Τὴν δ᾽ ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Il.14.342 Ἥρη μήτε θεῶν τό γε δείδιθι μήτέ τιν᾽ ἀνδρῶν

Il.14.343 ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω
Il.14.344 χρῦσεον· οὐδ’ ἂν νῶϊ διαδράκοι Ἠέλιός περ,
Il.14.345 οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι.
Il.14.346 Ἦ ῥα καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν·
Il.14.347 τοῖσι δ’ ὑπὸ χθὼν δῖα φύεν νεοθηλέα ποίην,
Il.14.348 λωτόν θ’ ἑρσήεντα ἰδὲ κρόκον ἠδ’ ὑάκινθον
Il.14.349 πυκνὸν καὶ μαλακόν, ὃς ἀπὸ χθονὸς ὑψόσ’ ἔεργε.
Il.14.350 Τῷ ἔνι λεξάσθην, ἐπὶ δὲ νεφέλην ἕσσαντο
Il.14.351 κᾱλὴν χρῡσείην· στιλπναὶ δ’ ἀπέπῑπτον ἕερσαι.
Il.14.352 Ὣς ὃ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ,
Il.14.353 ὕπνῳ καὶ φιλότητι δαμείς, ἔχε δ’ ἀγκὰς ἄκοιτιν·
Il.14.354 βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος Ὕπνος
Il.14.355 ἀγγελίην ἐρέων γαιηόχῳ ἐννοσιγαίῳ·
Il.14.356 ἀγχοῦ δ’ ἱστάμενος ἔπεα πτερόεντα προσηύδᾱ·
Il.14.357 πρόφρων νῦν Δαναοῖσι Ποσείδᾱον ἐπάμῡνε,
Il.14.358 καί σφιν κῦδος ὄπαζε μίνυνθά περ, ὄφρ’ ἔτι εὕδει
Il.14.359 Ζεύς, ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμ’ ἐκάλυψα·
Il.14.360 Ἥρη δ’ ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.